τοῖς δὲ πλουτοῦσι, τὰ χρήματα· τοῖς δὲ τεχνίταις, ὅπλα. συλλήβδην δὲ περὶ πόρων εἰσηγούμενοι, φάναι αὐτοῖς ἴσοις τοῖς πολίταις, καὶ πολυχρονίοις καὶ μεγάλοις ὄντας· τοῖς δὲ τῶν ἐναντίων τὰ ἐναντία τούτοις ἔχοντας. τὰς μὲν οὖν προθέσεις, περὶ ὧν δημηγορήσομεν, καὶ τὰ μέρη τούτων ἐξ ὧν τοὺς λόγους συστήσομεν, καὶ προτρέποντες καὶ ἀποτρέποντες, ἐκ τῶν εἰρημένων ἴσμεν. προθέμενοι δὲ πάλιν, ἐφεξῆς B τό, τε ἐγκωμιαστικὸν εἶδος, καὶ ψεκτικὸν περιλάβωμεν.

Κεφάλαιον δ.

Συλλήβδην μὲν οὖν ἐστιν ἐγκωμιαστικὸν εἶδος, προαιρέσεων καὶ πράξεων καὶ λόγων ἐνδόξων αὔξησις, καὶ μὴ προσόντων συνοικείωσις. ψεκτικὸν δὲ, τὸ ἐναντίον τούτῳ, τῶν μὲν ἐνδόξων, ταπείνωσις· τῶν δὲ C ἀδόξων, αὔξησις. ἐπαινετὰ μὲν οὖν ἐστι πράγματα, τὰ δίκαια, καὶ τὰ νόμιμα, καὶ τὰ συμφέροντα, καὶ τὰ καλὰ, καὶ τὰ ἡδέα, καὶ τὰ οὐ ῥάδια πραχθῆναι. ταῦτα δὲ αὐτά τε οἷά ἐστι, καὶ ὅθεν αὐτοὶ πολλὰ ποιήσομεν, ἐν τοῖς περὶ τούτων εἴρηται. δεῖ δὲ τὸν εὐλογοῦντα δεικνύειν τοῖς λόγοις, ὡς τούτῳ τῷ ἀνθρώπῳ, ἢ τοῖς πράγμασιν ὑπάρχει τι τούτων ὑπ' αὐτοῦ κατεργασθὲν, ἢ δι' αὐτοῦ D πορισθὲν, ἢ ἐκ τούτου ἐπισυμβαῖνον, ἢ ἕνεκεν τούτου γινόμενον, ἢ οὐκ ἄνευ τούτου ἐπιτελούμενον. ὁμοιοτρόπως δὲ καὶ τῷ ψέγοντι, τὰ ἐναντία τούτων δεικτέον προσόντα τῷ ψεγομένῳ. τὸ μὲν ἐκ τούτου, οἷον ἐκ τοῦ φιλογυμναστεῖν τὸ σῶμα, αἱ νῖκαι· καὶ ἐκ τοῦ μὴ φιλοπονεῖν, ἐπ' ἀρρωστίαν ἐμπίπτειν· καὶ ἐκ τοῦ φιλοσοφεῖν, δεινότερον εἶναι περὶ φρόνησιν· καὶ E ἐκ τοῦ ἀμελεῖν, ἐνδεᾶ τῶν ἀναγκαίων εἶναι. τὸ δ' ἕνεκα τούτου, οἷον ἕνεκα τοῦ στεφανωθῆναι ὑπὸ τῶν πολιτῶν, πολλοὺς πόνους καὶ κινδύνους ὑπομένουσι. καὶ ἕνεκα τοῦ χαρίζεσθαι τοῖς ἐρωμένοις, τῶν ἄλλων οὐδὲν φροντίζουσι. τὸ δὲ μὴ ἄνευ τούτου, οἷον οὐκ ἄνευ τῶν ναυτῶν, ναυμαχιῶν νῖκαι· καὶ οὐκ ἄνευ τοῦ πίνειν, αἱ παροινίαι. τὰ τοιαῦτα δὲ τοῖς προειρημένοις F ὁμοιοτρόπως μετιὼν, ἐγκωμίων καὶ ψόγων πολλῶν εὐπορήσεις. αὐξήσεις δὲ καὶ ταπεινώσεις συλλήβδην ἅπαντα τὰ τοιαῦτα τόνδε τὸν τρόπον μετιών· πρῶτον μὲν ἀποφαίνων, ὥσπερ ἀρτίως μετῆλθον, ὑπὸ τουτουῒ πολλὰ γεγενῆσθαι, ἢ κακὰ ἢ ἀγαθά. εἷς μὲν οὖν τρόπος τῆς αὐξήσεως οὗτος. δεύτερος δὲ,

A opificibus verò arma præſtent aduerſum pericula. Summatim autem oportet eum, qui de huiuſmodi prouentibus narret, dicere eos æquales ciuibus, & diuturnos, ac magnos eſſe: hoſtibus autẽ ſecus. Propoſitiones igitur, de quibus in genere deliberatiuo verba faciemus, & harum partes, de quibus orationem & ſuadendo, & diſſuadendo conſtituemus, ex antè dictis cognoſcemus. Rurſus autem propoſitiones B de laudatiua, vituperatiuáque ſpecie, deinceps dicere aggrediemur.

CAPVT IIII.

Laudatiua igitur ſpecies (vt compendio vtar) eſt voluntatum & rerum geſtarum & verborum illuſtrium amplificatio, & eorum, quæ abſint, accommodatio: vituperatiua autem contrà, illuſtrium horum extenuatio, obſcurorum verò exaggeratio. Et digna quidẽ laude ea ſunt, C quæ iuſta, quæ legitima, quæ vtilia, quæ honeſta, quæ iucunda, quæ facilia factu ſunt: quæ quidem omnia cuiuſmodi ſint, & quo pacto iis abundè vtamur, in ſuperioribus dictum eſt. Oportet autem eum, qui laudat, oratione oſtendat in hoc ſeu homine, ſeu in rebus huius aliquid ineſſe, quod aut ipſe geſſerit, aut per ipſum manarit, aut ex hoc contigerit, aut huiuſmodi gratia factum fuerit, aut quòd ſine D hoc patratum non ſit. Eodem verò modo & vituperator oſtendat oportet, horum contraria ineſſe in illo, quem vituperatum velit. Quod ex hoc contigerit, hoc modo. Ex ſtudioſa corporis exercitatione victoriæ contingunt, & ex otio in ægrotationem inciditur. Item, ex philoſophiæ ſtudio homines circa prudentiam ſunt acriores, & ex negligentia ſunt rerum neceſſariarum indigentes. Quod huiuſmodi gra- E tia factum fuerit, hoc modo. Vt à ciuibus coronentur, permultos labores, permultâque pericula mortales, perferunt: & vt iis quos diligunt gratificentur, aliud curant nihil. Quod autem ſine hoc patratum non ſit, hoc modo: Neque ſine nautis naualium pugnarum victoriæ, neque ſine potu ebrietates fiunt. Hæc autem, atque iis ſimilia, perinde vt ſuperiora percurrens, & laudare, & vituperare abundè poteris. F Amplificationes verò, extenuationéſque, ac talia ſimul quoque hoc modo tractabis. Primùm quidem oſtendes (veluti modò docebamus) ab hoc multa vel bona effecta eſſe. Vnus igitur amplificandi modus hic eſt. Secũdus autem modus eſt,